# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dxe-aa

*Ἀντίοχος ὁ Συρακούσιος* · Antiochus of Syracuse

# On Sicily and Italy

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-2 ΠΕΡΙ ΣΙΚΕΛΙΑΣ. Dionys.

1 Halic. A. R. I, 22: Ἀντίοχος δὲ ὁ Συρακούσιος χρόνον μὲν οὐ δηλοῖ τῆς διαβάσεως, Σικελοὺς δὲ τοὺς μεταναστάντας ἀποφαίνει, βιασθέντας ὑπό τε Οἰνωτρῶν καὶ Ὀπικῶν στρατῶν ἡγεμόνα τῆς ἀποικίας ποιησαμένους. Pausan.

2 Phoc. X, 11: Ἀνέθεσαν δὲ καὶ ἀνδριάντας Λιπαραῖοι, ναυμαχίᾳ κρατήσαντες Τυῤῥηνῶν. Οἱ δὲ Λιπαραῖοι οὗτοι Κνιδίων μὲν ἦσαν ἄποικοι, τῆς δὲ ἀποικίας ἡγεμόνα γενέσθαι φασὶν ἄνδρα Κνίδιον· ὄνομα δὲ εἶναι οἱ Πένταθλον Ἀντίοχος ὁ Ξενοφάνους Συρακούσιος ἐν τῇ Σικελιώτιδι συγγραφῇ φησι. Λέγει δὲ καὶ, ὡς ἐπὶ Παχύνῳ τῇ ἄκρᾳ τῇ ἐν Σικελίᾳ κτίσαντες πόλιν, αὐτοὶ μὲν ἐκπίπτουσιν ὑπὸ Ἐλύμων καὶ Φοινίκων πολέμῳ πιεσθέντες· τὰς νήσους δὲ ἔσχον ἐρήμους ἔτι ἢ ἀναστήσαντες τοὺς ἐνοικοῦντας· ἃς καὶ κατὰ ἔπη τὰ Ὁμήρεια Αἰόλου καὶ ἐς ἡμᾶς ἔτι ὀνομάζουσι. Τούτων Λιπάραν μὲν, κτίσαντες πόλιν ἐνταῦθα, οἰκοῦσιν· Ἱέραν δὲ καὶ Στρογγύλην καὶ Διδύμας γεωργοῦσι, διαβαίνοντες ναυσὶν ἐς αὐτάς. ΠΕΡΙ ΙΤΑΛΙΑΣ.

3 Dionys. Hal. A. R. I, 12: Ἀντίοχος δὲ ὁ Συρακούσιος, συγγραφεὺς πάνυ ἀρχαῖος, ἐν Ἰταλίας οἰκισμῷ τοὺς παλαιοτάτους οἰκήτορας διεξιὼν, ὡς ἕκαστοί τι μέρος αὐτῆς κατεῖχον, Οἰνωτροὺς λέγει πρώτους τῶν μνημονευομένων ἐν αὐτῇ κατοικῆσαι, εἰπὼν ὧδε· «Ἀντίοχος Ξενοφάνεος τάδε συνέγραψε περὶ Ἰταλίας, ἐκ τῶν ἀρχαίων λόγων τὰ πιστότατα καὶ σαφέστατα. Τὴν γῆν ταύτην, ἥτις νῦν Ἰταλία καλεῖται, τὸ παλαιὸν εἶχον Οἰνωτροί.» Ἔπειτα διεξελθὼν, ὃν τρόπον ἐπολιτεύοντο καὶ ὡς βασιλεὺς ἐν αὐτοῖς Ἰταλὸς ἀνὰ χρόνον ἐγένετο, ἀφ' οὗ μετωνομάσθησαν Ἰταλοὶ, τούτου δὲ τὴν ἀρχὴν Μόργης διεδέξατο, ἀφ' οὗ Μόργητες ἐκλήθησαν· καὶ ὡς Σικελὸς ἐπιξενωθεὶς Μόργητι, ἰδίαν πράττων ἀρχὴν διέστησε τὸ ἔθνος, ἐπιφέρει ταυτί· «Οὕτω δὲ Σικελοὶ καὶ Μόργητες ἐγένοντο καὶ Ἰταλίητες, ἐόντες Οἰνωτροί.» Idem A.

4 R. I, 35: Ἰταλία δὲ ἀνὰ χρόνον ὠνομάσθη ἐπ' ἀνδρὸς δυνατοῦ, ὄνομα Ἰταλοῦ. Τοῦτον δέ φησιν Ἀντίοχος ὁ Συρακούσιος ἀγαθὸν καὶ σοφὸν γεγενημένον, καὶ τῶν πλησιοχώρων τοὺς μὲν λόγοις ἀναπείθοντα, τοὺς δὲ βίᾳ προσαγόμενον, ἅπασαν ὑφ' ἑαυτῷ ποιήσασθαι τὴν γῆν, ὅση ἐντὸς ἦν τῶν κόλπων τοῦ τε Ναπητίνου καὶ τοῦ Σκυλητίνου· ἣν δὴ πρώτην κληθῆναι Ἰταλίαν ἐπὶ τοῦ Ἰταλοῦ· ἐπεὶ δὲ ταύτης ἐγκρατὴς ἐγένετο, καὶ ἀνθρώπους πολλοὺς εἶχεν ὑπηκόους, αὐτίκα τῶν ἐχομένων ἐπορέγεσθαι, καὶ πόλεις συνάγεσθαι πολλάς· εἶναι δ' αὐτὸν Οἰνωτρὸν τὸ γένος. Steph.

5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Byz.: Βρέττος πόλις Τυῤῥηνῶν, ἀπὸ Βρέττου τοῦ Ἡρακλέους, καὶ Βαλητίας τῆς Βαλήτου. Οἱ οἰκοῦντες Βρέττιοι, καὶ ἡ χώρα Βρεττία, καὶ ἡ γλῶσσα. —Ἀντίοχος δὲ τὴν Ἰταλίαν πρῶτόν φησι κληθῆναι Βρεττίαν, εἶτα Οἰνωτρίαν. Strabo VI, § 4: Φησὶ δ’ Ἀντίοχος, ἐν τῷ περὶ τῆς Ἰταλίας συγγράμματι, ταύτην Ἰταλίαν κληθῆναι, καὶ περὶ ταύτης συγγράφειν, πρότερον δ’ Οἰνωτρίαν προσαγορεύεσθαι.

6a Ὅριον δ’ αὐτῆς ἀποφαίνει πρὸς μὲν τῷ Τυῤῥηνικῷ πελάγει, τὸ αὐτὸ ὅπερ καὶ τῆς Βρεττίας ἔφαμεν, τὸν Λᾶον ποταμόν· πρὸς δὲ τῷ Σικελικῷ, τὸ Μεταπόντιον. Τὴν δὲ Ταραντίνην, ἣ συνεχὴς τῷ Μεταποντίῳ ἐστὶν, ἐκτὸς τῆς Ἰταλίας ὀνομάζει, Ἰάπυγας καλῶν. Ἔτι δ’ ἀνώτερον, Οἰνωτρούς τε καὶ Ἰταλοὺς μόνους ἔφη καλεῖσθαι τοὺς ἐντὸς τοῦ ἰσθμοῦ πρὸς τὸν Σικελικὸν κεκλιμένους πορθμόν. Ἔστι δ’ αὐτὸς ὁ ἰσθμὸς ἑκατὸν καὶ ἑξήκοντα στάδιοι, μεταξὺ δυοῖν κόλπων, τοῦ τε Ἱππωνιάτου, ὃν Ἀντίοχος Ναπιτῖνον εἴρηκε, καὶ τοῦ Σκυλλητικοῦ. Περίπλους δ’ ἐστὶ τῆς ἀπολαμβανομένης χώρας πρὸς τὸν πορθμὸν ἐντὸς, στάδιοι δισχιλίοι. Μετὰ δὲ ταῦτα, ἐπεκτείνεται (φησὶ) τοὔνομα καὶ τὸ τῆς Ἰταλίας, καὶ τὸ τῶν Οἰνωτρῶν, μέχρι τῆς Μεταποντίνης καὶ τῆς Σειρίτιδος· οἰκῆσαι γὰρ τοὺς τόπους τούτους Χῶνας, Οἰνωτρικὸν ἔθνος κατακοσμούμενον, καὶ τὴν γῆν ὀνομάσαι Χώνην. Οὗτος μὲν οὖν ἁπλουστέρως εἴρηκε καὶ ἀρχαϊκῶς, οὐδὲν διορίσας περὶ τῶν Λευκανῶν καὶ τῶν Βρεττίων. Hesychius: Χώνην τὴν Ἰταλίαν ἔλεγον, ὥς φησιν Ἀντίοχος ὁ Ξενοφάνους ἐν τῷ περὶ Ἰταλίας.

7 Dionys. Halic. Ant. Rom. I, 73,: Εἰ δέ τις ἀπιδεῖν βουλήσεται τὰ προσώτερα, καὶ τρίτη τις ἀρχαιοτέρα τούτων εὑρεθήσεται Ῥώμη, γενομένη πρὶν Αἰνείαν καὶ Τρῶας ἐλθεῖν ἐν Ἰταλίᾳ. Ταῦτα δὲ οὐ τῶν ἐπιτυχόντων τις οὐδὲ νέων συγγραφεὺς ἱστόρηκεν, ἀλλ’ Ἀντίοχος ὁ Συρακούσιος, οὗ καὶ πρότερον ἐμνήσθην. Φησὶ δὲ Μόργητος ἐν Ἰταλίᾳ βασιλεύοντος· ἦν δὲ τότε Ἰταλία ἡ ἀπὸ Τάραντος ἄχρι Ποσειδωνίας παράλιος· ἐλθεῖν πρὸς αὐτὸν ἄνδρα φυγάδα ἐκ Ῥώμης. Λέγει δὲ ὧδε· «Ἐπεὶ δὲ Ἰταλὸς κατεγήρα, Μόργης ἐβασίλευσεν. Ἐπὶ τούτου δὲ ἀνὴρ ἀφίκετο ἐκ Ῥώμης φυγάς. Σίκελος ὄνομα αὐτῷ.» Κατὰ μὲν δὴ τὸν Συρακούσιον συγγραφέα, παλαιά τις εὑρίσκεται προτεροῦσα τῶν Τρωϊκῶν χρόνων ἡ Ῥώμη. Πότερον δὲ περὶ τοὺς αὐτοὺς ἦν τόπους, ἐν οἷς ἡ νῦν οἰκουμένη πόλις ἐστὶν, ἢ χωρίον ἕτερον οὕτως ἐτύγχανεν ὀνομαζόμενον, ἀσαφὲς ἐκείνου καταλιπόντος, οὐδ’ ἐγὼ δύναμαι συμβαλεῖν. Strabo V: Ὑπὲρ δὲ τούτων τῶν ἠϊόνων Καμπανία πᾶσα ἵδρυται, πεδίον εὐδαιμονέστατον τῶν ἁπάντων· περίκεινται δ’ αὐτῷ γεωλοφίαι τε εὔκαρποι, καὶ ὄρη τά τε τῶν Σαυνιτῶν καὶ τὰ τῶν Ὄσκων.

8 Ἀντίοχος μὲν οὖν φησὶ τὴν χώραν ταύτην Ὀπικοὺς οἰκῆσαι, τούτους δὲ καὶ Αὔσονας καλεῖσθαι. Id.

9 VI.: Φησὶ δ’ Ἀντίοχος, Φωκαίας ἁλούσης ὑφ’ Ἁρπάγου τοῦ Κύρου στρατηγοῦ, τοὺς δυναμένους ἐμβάντας εἰς τὰ σκάφη πανοικίους, πλεῦσαι πρῶτον εἰς Κύρνον καὶ Μασσαλίαν μετὰ Κρεοντιάδου· ἀποκρουσθέντας δὲ τὴν Ἐλέαν κτίσαι. Strabo VI.

10 : Κτίσμα δ’ ἐστὶ τὸ Ῥήγιον Χαλκιδέων· οὓς κατὰ χρησμὸν δεκατευθέντας· τῷ Ἀπόλλωνι δι’ ἀφορίαν, ὕστερον ἐκ Δελφῶν ἀποικῆσαι δεῦρο φασὶ, παραλαβόντας καὶ ἄλλους τῶν οἴκοθεν· ὡς δ’ Ἀντίοχος φησὶ, Ζαγκλαῖοι μετεπέμψαντο τοὺς Χαλκιδέας, καὶ οἰκιστὴν Ἀντίμνηστον συνέστησαν ἐκείνων. Strabo VI.

11 : Φησὶ δ’ Ἀντίοχος τοῦ θεοῦ φήσαντος Ἀχαιοῖς Κρότωνα κτίζειν, ἀπελθεῖν Μύσκελλον κατασκεψόμενον τὸν τόπον. Ἰδόντα δ’ ἐκτισμένην ἤδη Σύβαριν, ποταμῷ τῷ πλησίον ὁμώνυμον, κρῖναι ταύτην ἀμείνω· ἐπανερέσθαι δ’ οὖν ἀπιόντα τὸν θεὸν, εἰ δοτὸν εἴη, ταύτην ἀντ’ ἐκείνης κτίζειν· τὸν δὲ ἀντειπεῖν (ἐτύγχανε δὲ ὑπόκυφος ὢν ὁ Μύσκελλος)· Μύσκελλε βραχύνωτε, πάρεκ θεὸν ἄλλο ματεύων, κλάσματα θηρεύεις· δῶρον δ’ ὅ, τι δῷ τις ἐπαίνει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπανελθόντα δὲ κτίσαι τὴν Κρότωνα, συμπράξαντος καὶ τοῦ Ἀρχίου τοῦ τὰς Συρακούσας οἰκίσαντος, προσπλεύσαντος κατὰ τύχην, ἡνίκα ὥρμητο ἐπὶ τὸν τῶν Συρακουσῶν οἰκισμόν. Strabo VI.

12 : Φησὶ δ’ Ἀντίοχος τοὺς Ταραντίνους, Θουρίοις καὶ Κλεανδρίᾳ τῷ στρατηγῷ φυγάδι ἐκ Λακεδαίμονος πολεμοῦντας περὶ τῆς Σειρίτιδος συμβῆναι, καὶ συνοικῆσαι μὲν κοινῇ, τὴν δ’ ἀποικίαν κριθῆναι Ταραντίνων· ὕστερον δ’ Ἡράκλειαν κληθῆναι, μεταβαλοῦσαν καὶ τοὔνομα, καὶ τὸν τόπον. Id.

13 VI, § 15.: Ἑξῆς δ’ ἐστὶ Μεταπόντιον, εἰς ὃν ἀπὸ τοῦ ἐπινείου τῆς Ἡρακλείας εἰσὶ στάδιοι μʹ πρὸς τοῖς ἑκατόν. Πυλίων δὲ λέγεται κτίσμα τῶν ἐξ Ἰλίου πλευσάντων μετὰ Νέστορος· οὓς οὕτως εὐτυχῆσαι ἀπὸ γεωργίας φασὶν, ὥστε θέρος χρυσοῦν ἐν Δελφοῖς ἀναθεῖναι. Σημεῖον δὲ ποιοῦνται τῆς κτίσεως, τὸν τῶν Νηληΐδων ἐναγισμόν· ἠφανίσθη δ’ ὑπὸ Σαυνιτῶν. Ἀντίοχος δὲ φησὶν ἐκλειφθέντα τὸν τόπον ἐποικῆσαι τῶν Ἀχαιῶν τινὰς μεταπεμφθέντας ὑπὸ τῶν ἐν Συβάρι Ἀχαιῶν. Μεταπεμφθῆναι δὲ κατὰ μῖσος τὸ πρὸς Ταραντίνους τῶν Ἀχαιῶν [τῶν ἐκπεσόντων ἐκ τῆς Λακωνικῆς], ἵνα μὴ Ταραντῖνοι γειτνιῶντες ἐπιπηδήσαιεν τῷ τόπῳ. Δυοῖν δ’ οὐσῶν τῶν πόλεων τῶν Μεταποντίων ἐγγυτέρω τοῦ Τάραντος, πεισθῆναι τοὺς ἀφιγμένους ὑπὸ Συβαριτῶν, τὸ Μεταπόντιον κατασχεῖν· τοῦτο μὲν γὰρ ἔχοντας, ἕξειν καὶ τὴν Σειρῖτιν· εἰ δ’ ἐπὶ τὴν Σειρῖτιν τράποιντο, προσθήσειν τοῖς Ταραντίνοις τὸ Μεταπόντιον ἐν πλευραῖς οὖσι. Πολεμοῦντας δ’ ὕστερον πρὸς τοὺς Ταραντίνους καὶ τοὺς ὑπερκειμένους Οἰνωτροὺς, ἐπὶ μέρει διαλυθῆναι τῆς γῆς, ὅπερ γενέσθαι τῆς τότε Ἰταλίας ὅριον, καὶ τῆς Ἰαπυγίας. Strabo VI.

14 : Περὶ δὲ τῆς κτίσεως λέγων Ἀντίοχος φησὶν, ὅτι τοῦ Μεσσηνιακοῦ πολέμου γενηθέντος, οἱ μὴ μετασχόντες Λακεδαιμονίων τῆς στρατείας, ἐκρίθησαν δοῦλοι, καὶ ὠνομάσθησαν Εἵλωτες· ὅσοις δὲ κατὰ τὴν στρατείαν παῖδες ἐγένοντο, Παρθενίας ἐκάλουν, καὶ ἀτίμους ἔκριναν. Οἱ δ’ οὐκ ἀνασχόμενοι (πολλοὶ δ’ ἦσαν) ἐπεβούλευσαν τοῖς τοῦ δήμου. Αἰσθόμενοι δ’ ὑπέπεμψαν τινὰς, οἳ προσποιήσει φιλίας, ἔμελλον ἐξαγγέλλειν τὸν τρόπον τῆς ἐπιβουλῆς. Τούτων δ’ ἦν καὶ Φάλανθος, ὅσπερ ἐδόκει προστάτης ὑπάρχειν αὐτῶν· οὐκ ἠρέσκετο δ’ ἁπλῶς τοῖς παρὰ τῆς βουλῆς ὀνομασθεῖσι. Συνέκειτο μὲν δὴ, τοῖς Ὑακινθίοις ἐν τῷ Ἀμυκλαίῳ συντελουμένου τοῦ ἀγῶνος, ἡνίκα τὴν κυνῆν περιθῇ ὁ Φάλανθος, ποιεῖσθαι τὴν ἐπίθεσιν· γνώριμοι δ’ ἦσαν ἀπὸ τῆς κόμης οἱ τοῦ δήμου. Ἐξαγγειλάντων δὲ τινῶν λάθρα τὰ συγκείμενα τῶν περὶ Φάλανθον, καὶ τοῦ ἀγῶνος ἀνεστῶτος, προελθὼν ὁ κῆρυξ εἶπε, μὴ ἂν περιθεῖναι κυνῆν Φάλανθον. Οἱ δ’ αἰσθόμενοι, ὡς μεμηκύνασι τὴν ἐπιβουλὴν, οἱ μὲν διεδίδρασκον, οἱ δὲ ἱκέτευον. Κελεύσαντες δ’ αὐτοὺς θαῤῥεῖν, φυλακῇ παρέδοσαν· τὸν δὲ Φάλανθον ἔπεμψαν εἰς θεοῦ περὶ ἀποικίας· ὁ δ’ ἔχρησε· Σατύριόν σοι δῶκα, Τάραντά τε πίονα δῆμον οἰκῆσαι, καὶ πῆμα Ἰαπύγεσσι γενέσθαι. Clemens Al.

15 Protrept.: Ἐν τῷ νεῷ τῆς Ἀθήνας ἐν Λαρίσσῃ, ἐν τῇ ἀκροπόλει, τάφος ἐστὶν Ἀκρισίου· Ἀθήνησι δὲ ἐν ἀκροπόλει, Κέκροπος, ὡς φησὶν Ἀντίοχος ἐν τῷ ἐννάτῳ τῶν ἱστοριῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org